ἔργοις ἐπιχειροῦντες οὐ μικροῖς κακοῖς περιπίπτουσι,
πολλοὶ δὲ διὰ τὸν πλοῦτον διαθρυπτόμενοί τε καὶ ἐπι-
βουλευόμενοι ἀπόλλυνται, πολλοὶ δὲ διὰ τὴν δόξαν
καὶ πολιτικὴν δύναμιν μεγάλα κακὰ πεπόνθασιν.
⁋ Ἀλλὰ μὴν, ἔφη, εἴγε μηδὲ τὸ εὐδαιμονεῖν ἐπαινῶν 36
ὀρθῶς λέγω, ὁμολογῶ μηδὲ, ὅ τι πρὸς τοὺς θεοὺς εὔ-
χεσθαι χρὴ, εἰδέναι. ⁋ Ἀλλὰ ταῦτα μὲν, ἔφη ὁ Σω-
κράτης, ἴσως, διὰ τὸ σφόδρα πιστεύειν εἰδέναι, οὐδ᾽
ἔσκεψαι· ἐπεὶ δὲ πόλεως δημοκρατουμένης παρασκευά-
ζῃ προεστάναι, δῆλον ὅτι δημοκρατίαν γε οἶσθα τί
ἐστι. ⁋ Πάντως δήπου, ἔφη. ⁋ Δοκεῖ οὖν σοι δυ- 37
νατὸν εἶναι, δημοκρατίαν εἰδέναι, μὴ εἰδότα δῆμον;
⁋ Μὰ Δί᾽, οὐκ ἔμοι γε. ⁋ Καὶ τί νομίζεις δῆμον εἶναι;
⁋ Τοὺς πένητας τῶν πολιτῶν ἔγωγε. ⁋ Καὶ τοὺς πέ-
νητας ἄρα οἶσθα; ⁋ Πῶς γὰρ οὔ; ⁋ Ἆρ᾽ οὖν καὶ τοὺς
πλουσίους οἶσθα; ⁋ Οὐδέν γε ἧττον ἢ καὶ τοὺς πένητας.
⁋ Ποίους δὲ πένητας καὶ ποίους πλουσίους καλεῖς; ⁋ Τοὺς
μὲν οἶμαι μὴ ἱκανὰ ἔχοντας, εἰς ἃ δεῖ τελεῖν, πένη-
τας, τοὺς δὲ πλείω τῶν ἱκανῶν, πλουσίους. ⁋ Κα- 38
ταμεμάθηκας οὖν, ὅτι ἐνίοις μὲν πάνυ ὀλίγα ἔχουσιν οὐ
μόνον ἀρκεῖ ταῦτα, ἀλλὰ καὶ περιποιοῦνται ἀπ᾽ αὐ-
τῶν, ἐνίοις δὲ πάνυ πολλὰ οὐχ ἱκανά ἐστι; ⁋ Καὶ νὴ
Δί᾽, ἔφη ὁ Εὐθύδημος. ὀρθῶς γάρ με ἀναμιμνήσκεις.
οἶδα γὰρ καὶ τυράννους τινὰς, οἳ δι᾽ ἔνδειαν, ὥσπερ οἱ
ἀπορώτατοι, ἀναγκάζονται ἀδικεῖν. ⁋ Οὐκοῦν, 39
ἔφη ὁ Σωκράτης, εἴγε ταῦτα οὕτως ἔχει, τοὺς μὲν
τυράννους εἰς τὸν δῆμον θήσομεν, τοὺς δὲ ὀλίγα κεκτη-
μένους,

τὴν δόξαν] Articulum Ernestus recepit ex Hindeburgii coniectura, quia idem est in caeteris membris.

§. 36. οὐδ᾽ ἔσκεψαι] Stob. οὐ διέσκεψαι.

§. 37. οὐδέν γε ἧττον] Sic e Stobaeo et Stephano dedi pro vulgatiori οὐδὲν δὲ ἧ. *Ern.* Vatic. 1 et Flor. E particulam mediam plane omittunt.

καὶ ποίους] Marg. Steph. ἢ ποίους.

τελεῖν] *Quorum res non sufficit ad sumtus, qui faciendi sunt.* τελεῖν pro ἀναλίσκειν. Sic etiam τέλος de impensa dicitur. Schol. Thuc. ad I, 10: πολυτελέσι, πολυδαπάνοις. τέλος γὰρ τὸ ἀνάλωμα: it. VI, 16, τοῖς ἰδίοις τέλεσι, δαπάναις. *Ern.*

§. 38. οἶδα γὰρ] Stob. neglexit γάρ.